Ἀρ. Πρωτ.
**1496**

Τῷ Ἐντιμοτάτῳ **κ. Γεωργίῳ Βέργῳ**, υἱῷ ἐν Χριστῷ ἀγαπητῷ τῆς Ἡμῶν Μετριότητος, χάριν καί εἰρήνην ἀπό Θεοῦ Πατρός, ὑπερφυῶς ἐκ Παρθένου Τεχθέντι.

Μεταβάντες ἐξ Ἱεροσολύμων εἰς Βηθλεέμ, κατελθόντες εἰς τό ἀπέριττον καί Θεοδέγμον Σπήλαιον καί ὡς οἱ μάγοι ἐξ Ἀνατολῶν καί οἱ ποιμένες, οἱ εἰς τήν παρακειμένην πόλιν ἀγραυλοῦντες, προσκυνήσαντες καί Ἡμεῖς τόν δι᾽ ἡμᾶς ἐνανθρωπήσαντα, σαρκί νηπιάσαντα καί ἐκ Παρθένου Μητρός τεχθέντα Σωτῆρα Ἰησοῦν Χριστόν καί προσενεγκόντες Αὐτῷ τά δῶρα τῆς ἐκ βαθέων πίστεως καί εὐγνωμοσύνης ἡμῶν, μετά χαρᾶς ἐδέχθημεν τάς ἐπί ταῖς ἑορταῖς τοῦ Ἁγίου Δωδεκαημέρου προφρόνως ὑποβληθείσας Ἡμῖν ἑορτίους εὐχάς τῆς ὑμετέρας Ἐντιμότητος.

Θερμῶς, ὅθεν, εὐχαριστοῦντες αὐτῇ ἐπί ταῖς εὐχαῖς αὐτῆς, ὁλοθύμως ἀνταποδίδομεν ταύτας, ἐπικαλούμενοι εἰς ἐνίσχυσιν αὐτῆς πλουσίαν τήν χάριν καί τήν εὐλογίαν τοῦ Πανσέπτου καί Θεοδέγμονος Σπηλαίου ἐν παντί καί πάντοτε καί καταστέφοντες αὐτήν πανοικί ταῖς Πατρικαῖς ἡμῶν εὐχαῖς καί Πατριαρχικαῖς εὐλογίαις, διατελοῦμεν.

Ἐν τῇ Ἁγίᾳ Πόλει Ἱερουσαλήμ ΧΡΙΣΤΟΥΓΕΝΝΑ 2010.

Διάπυρος πρός Κύριον Εὐχέτης,

+ ὁ Ἱεροσολύμων Θεόφιλος

**ΘΕΟΦΙΛΟΣ Γ΄**
Πατριάρχης Ἱεροσολύμων